2 πρωτόγονα. οἴμμοι, ψυχή, [2]ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς,
καὶ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· πάντες εἰς αἵματα δικά-
3 ζονται, ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ. [3]ἐπὶ τὸ
κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσιν· ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς
εἰρηνικοὺς λόγους ἐλάλησεν, καταθύμιον ψυχῆς αὐτοῦ ἐστιν. καὶ
4 ἐξελοῦμαι [4]τὰ ἀγαθὰ αὐτῶν ὡς σὴς ἐκτρώγων καὶ βαδίζων ἐπὶ
κανόνος ἐν ἡμέρᾳ σκοπιᾶς. οὐαὶ οὐαί, αἱ ἐκδικήσεις σου ἥκασιν, νῦν
5 ἔσονται κλαυθμοὶ αὐτῶν. [5]μὴ καταπιστεύετε ἐν φίλοις καὶ μὴ ἐλ-
πίζετε ἐπὶ ἡγουμένοις, ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ ἀνα-
6 θέσθαι τι αὐτῇ· [6]διότι υἱὸς ἀτιμάζει πατέρα, θυγάτηρ ἐπαναστήσεται
ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς, ἐχθροὶ
ἀνδρὸς πάντες οἱ ἄνδρες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ.
7 [7]Ἐγὼ δὲ ἐπὶ τὸν κύριον ἐπιβλέψομαι, ὑπομενῶ ἐπὶ τῷ θεῷ τῷ
8 σωτῆρί μου, εἰσακούσεταί μου ὁ θεός μου. [8]μὴ ἐπίχαιρέ μοι, ἡ
ἐχθρά μου, ὅτι πέπτωκα· καὶ ἀναστήσομαι, διότι ἐὰν καθίσω ἐν
9 τῷ σκότει, κύριος φωτιεῖ μοι. [9]ὀργὴν κυρίου ὑποίσω, ὅτι ἥμαρτον
αὐτῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου· καὶ ποιήσει τὸ
κρίμα μου καὶ ἐξάξει με εἰς τὸ φῶς, ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ.
10 [10]καὶ ὄψεται ἡ ἐχθρά μου καὶ περιβαλεῖται αἰσχύνην ἡ λέγουσα
πρός με Ποῦ κύριος ὁ θεός σου; οἱ ὀφθαλμοί μου ἐπόψονται αὐ-
11 τήν· νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς [11]ἡμέρας
ἀλοιφῆς πλίνθου. ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη, καὶ ἀποτρίψεται
12 νόμιμά σου [12]ἡ ἡμέρα ἐκείνη· καὶ αἱ πόλεις σου ἥξουσιν εἰς ὁμα-
λισμὸν καὶ εἰς διαμερισμὸν Ἀσσυρίων καὶ αἱ πόλεις σου αἱ ὀχυραὶ
εἰς διαμερισμὸν ἀπὸ Τύρου ἕως τοῦ ποταμοῦ Συρίας, ἡμέρα ὕδατος
13 καὶ θορύβου· [13]καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν σὺν τοῖς κατοικοῦ-
σιν αὐτὴν ἐκ καρπῶν ἐπιτηδευμάτων αὐτῶν.
14 [14]Ποίμαινε λαόν σου ἐν ῥάβδῳ σου, πρόβατα κληρονομίας σου,
κατασκηνοῦντας καθ' ἑαυτοὺς δρυμὸν ἐν μέσῳ τοῦ Καρμήλου· νεμή-
σονται τὴν Βασανῖτιν καὶ τὴν Γαλααδῖτιν καθὼς αἱ ἡμέραι τοῦ αἰ-
15 ῶνος. [15]καὶ κατὰ τὰς ἡμέρας ἐξοδίας σου ἐξ Αἰγύπτου ὄψεσθε

2 ευλαβης] ευσεβης B*† || 3 ελαλησεν] + ο αδρος ελαλησεν το W†: item uersiones aegyptiacae || 5 τι αυτη] tr. AV† || 6 θυγατηρ et νυμφη] pr. και A† | ανδρος παντες *L*] tr. B†, ανδρος > AQW, παντες > *C* | οι ανδρες > B† || 8 κυριος] pr. ο AQ || 9 εως του δικαιωσαι αυτον BQ] ου pro του A, εως αν δικαιωση *L*†, εως ου δικαιωσει(uel -ση) *C* | ποιησει] αποισει A† | εξαξεις B*† || 11 αποτριψ. BW†] απωσεται rel. | σου ult. > AQ || 12 ηξουσιν] ειξ. B*† | συριας AQW*L*] > B*C* | ημερα υδατος και θορυβου QW†] και απο θαλασσης εως θαλασσης και απο ορους εως του(> B$^{c}$) ορους B*C*: altera uersio earundem literarum hebraicarum, cf. Zach. 9 10; ambas uersiones (B*C* + QW) iungunt A(add. του ante ορους $1^{o}$)*L* || 13 συν τοις κατοικ. BW†] μετα των κατοικουντων rel. | εκ AQW] απο B*LC* || 14 ραβδω B*C*] + φυλην AQW, + φυλης *L*